# 17 MAI

# SLUJBA SF.CUVIOSI NECTARIE SI TEOFAN DE LA VARLAAM-METEORA

## MINEIUL-GR

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

# ΜΑΪΟΥ ΙΖ´

## Μνήμη τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν

# ΝΕΚΤΑΡΙΟΥ καὶ ΘΕΟΦΑΝΟΥΣ

## τῶν αὐταδέλφων, κτιτόρων τῆς ἐν Μετεώροις Ἱερᾶς Μονῆς τοῦ Βαρλαάμ.

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ´, καὶ ψάλλομεν

τὰ ἑξῆς Προσόμοια.

Ἦχος β´. Ὅτε ἐκ τοῦ ξύλου.

Ρίζης προελθόντες ἐκ μιᾶς, οἷά περ αὐτάδελφοι θεῖοι, ἀπὸ νεότητος, μίαν γνώμην ἔσχετε, ἐν συμφωνίᾳ ψυχῆς, θεοφόρε Νεκτάριε, σὺν τῷ Θεοφάνει, ἄραι ἐπωμάδιον, τὸν τοῦ Κυρίου Σταυρόν· ὅθεν καὶ ἀσκήσαντες ἄμφω, ἴσων τῶν ἐπάθλων τῆς δόξης, μετὰ τῶν Ἁγίων ἠξιώθητε.

Ὅτε ὑπετάγητε στερρῶς, Σάββα τοῦ Ὁσίου τοῖς λόγοις, ἐνθέῳ ἔρωτι, τότε ὑπετάξατε, σαρκὸς τὸ φρόνημα, θεοφόροι τῷ πνεύματι, καὶ διδασκαλίᾳ, τοῦ Ἁγίου Νήφωνος κατελαμπρύνθητε· ὅθεν καὶ ἰσάγγελον βίον, ἐν Ἰωαννίνων τῇ νήσῳ, Ὅσιοι αὐτάδελφοι ἠνύσατε.

Σκεύη γεγονότες τοῦ Θεοῦ, τῇ συντονωτάτῃ ἀσκήσει, Πατέρες Ὅσιοι, θεῖον ἐδομήσασθε, ναὸν καὶ ἅγιον, τῷ Προδρόμῳ τῆς χάριτος, καὶ ἐν Μετεώροις, ὥσπερ ἄστρα πάμφωτα, ἐξανατείλαντες, φέγγει τῆς ὑμῶν πολιτείας, Μοναστῶν αὐγάζετε δῆμον, τοῦ ζηλοῦν τὰ κρείττονα χαρίσματα.

Πέτρᾳ ἀνελθόντες ὑψηλῇ, τῇ τοῦ Βαρλαὰμ Θεοφόροι, ὡς οὐρανόφρονες, ἐν αὐτῇ ἠγείρατε, Μονὴν περίβλεπτον, καὶ ἀλεῖπται γεγόνατε, καὶ γνώμονες θεῖοι, θείων ἀναβάσεων, τῶν μοναστῶν τῷ χορῷ, Ὅσιε Θεόφανες Πάτερ, σὺν τῷ ἱερῷ Νεκταρίῳ, καὶ πρὸς τὸν Χριστὸν μεσῖται ἄριστοι.

Δόξα... Ἦχος β´.

Ἀσκητικὴν ποθήσαντες ζωήν, ὁμοφρόνως Χριστῷ ἠκολουθήσατε, θεοφόροι αὐτάδελφοι· καὶ ἐν πέτρᾳ μετεώρῳ ὑψωθέντες, μετάρσιοι τῷ πνεύματι ὤφθητε, τῶν χαμαὶ κειμένων ἀπαναστάντες. Ἀλλ᾽ ὦ Θεόφανες μακάριε, καὶ Νεκτάριε θεόφρον, Ἀγγέλων συνόμιλοι, σὺν αὐτοῖς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

### Ἀπόστιχα.

Ἦχος β´. Οἶκος τοῦ Ἐφραθᾶ.

Πόλις ἡ εὐκλεής, Ἰωαννίνων χαίρει, ὑμῶν ἐν τοῖς σπαργάνοις, Νεκτάριε τρισμάκαρ, καὶ Ὅσιε Θεόφανες.

Στίχ. Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται...

Στῦλοι θείου φωτός, καὶ Μετεώρων δόξα, ὤφθητε θεοφόροι, Θεόφανες θεόφρον, καὶ Ὅσιε Νεκτάριε.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ Ὁσίων.

Χαίρετε ἀρετῶν, ἀσκητικῶν ταμεῖα, καὶ θεῖοι ὑποφῆται, Νεκτάριε παμμάκαρ, καὶ Ὅσιε Θεόφανες.

Δόξα... Τριαδικόν.

Αἴγλη θεαρχικῇ, Τριάδος τῆς Ἁγίας, δυὰς ἡ τῶν Ὁσίων, λαμπόμενοι πλουσίως, ὡς φῶς τῷ κόσμῳ ἔλαμψαν.

www.tezaurliturgic.ro



Καὶ νῦν... Θεοτοκίον.

Τέτοκας ἐν σαρκί, τὸν βλύσαντα ἐν κόσμῳ, ἀθανασίας ρεῖθρα, Χριστὸν τὸν Ζωοδότην, Παρθένε Παναμώμητε.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ ἀπόλυσις.

---

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τό, Μακάριος ἀνήρ. Εἰς δὲ τό, Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ´, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τῶν Ἁγίων.

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τῶν Ὁσίων τιμήσωμεν, τὴν δυάδα ἐν ᾄσμασι, τοὺς ἑνὶ φρονήματι δυσὶ σώμασιν, ὡς ἰσοψύχους ὁμαίμονας, συμφώνως ἀνύσαντες, τὴν ὁδὸν τῶν ἀρετῶν, Θεοφάνην τὸν Ὅσιον, καὶ Νεκτάριον, τῆς Ἁγίας Τριάδος τὰ δοχεῖα, καὶ θεράποντας ἐν πᾶσι, καὶ πρεσβευτὰς τῶν ψυχῶν ἡμῶν.

Ἀδελφὰ συμφωνήσαντες, ἐκ νεότητος Ὅσιοι, ὡς σοφοὶ αὐτάδελφοι καὶ θεόφρονες, Ἰωαννίνων ἠνύσατε, ἐν νήσῳ ἰσάγγελον, πολιτείαν ἀληθῶς, καὶ ἐν Ὄρει τοῦ Ἄθωνος, ταῖς τοῦ Νήφωνος, τοῦ Ἁγίου χερσὶν ὁδηγηθέντες, ὁδηγοὶ τῶν μοναζόντων, ἐν Μετεώροις ἐδείχθητε.

Ὡς ἐν στύλῳ ἀνήλθετε, πτερωθέντες τῷ πνεύματι, ἐπὶ πέτραν Ὅσιοι τὴν μετέωρον, τοῦ Βαρλαὰμ τοῦ παμμάκαρος, καὶ ἔξω γενόμενοι, θείῳ πόθῳ τῶν φθαρτῶν, ἐν αὐτῇ ἐδομήσασθε, Μονὴν πάνσεπτον, οἷα κλίμακα ἄγουσαν πρὸς ὕψος, τοὺς ἐν ταύτῃ προσιόντας, ὦ θεοφόροι αὐτάδελφοι.

Τὴν τοῦ γένους λαμπρότητα, νουνεχῶς ἀπωσάμενοι, τοῦ Σωτῆρος εἵλεσθε τὴν ταπείνωσιν, καὶ πλουτισθέντες τῷ Πνεύματι, Θεόφανες Ὅσιε, φῶς ἐκλάμπεις νοητόν, καὶ Θεόφρον Νεκτάριε, νέκταρ ἄϋλον, τῆς ἀγάπης βλυστάνεις τῆς ἁγίας· διὰ τοῦτο ὑμᾶς ἄμφω, Χριστὸς λαμπρῶς ἐθαυμάστωσε.

Μετεώρων τὸ καύχημα, ἀρετῶν τὰ κειμήλια, τῆς στερρᾶς ἀσκήσεως τοὺς ἀδάμαντας, Ἰωαννίνων τῆς πόλεως, τὰ θεῖα βλαστήματα, καὶ τῆς πέτρας Βαρλαάμ, τοὺς πυρσοὺς τοὺς ἐκλάμποντας, ἐν τοῖς πέρασι, χαρισμάτων ἀκτῖνας Θεοφάνην, σὺν τῷ θείῳ Νεκταρίῳ, ᾀσματικῶς μακαρίσωμεν.

Τοῖς σεπτοῖς προτερήμασι, τῆς ζωῆς ὑμῶν Ἅγιοι, πόλις ἡ βλαστήσασα ὑμᾶς γάνυται, Ἰωαννίνων ἡ ἔνδοξος, Θεόφανες Ὅσιε, καὶ Νεκτάριε σοφέ, ἐξαιρέτως δὲ τέρπεται, ἡ Μονὴ ὑμῶν, ἣν ἐδείμασθε ἐν τοῖς Μετεώροις, ὡς θερμοὺς ὑμᾶς προστάτας, καὶ ὁδηγοὺς μεγαλύνουσα.

Δόξα... Ἦχος πλ. β´.

Σήμερον ὡς λυχνία δίφωτος ἐξέλαμψαν, οἱ Ὅσιοι αὐτάδελφοι, Θεοφάνης καὶ Νεκτάριος, τὴν Ἐκκλησίαν φαιδρύνοντες, νοηταῖς ἀκτῖσιν· ἐξ ἠλιβάτου γὰρ πέτρας τῶν Μετεώρων, τῆς ἐν Χριστῷ ζωῆς τὸ φῶς φαίνουσι, τοῖς ἐκβοῶσιν αὐτοῖς· χαίρετε οἱ ἐκ νεότητος Χριστῷ ἀνατεθέντες, καὶ ἐν μιᾷ σπουδῇ αὐτῷ, μέχρι τέλους ἀκολουθήσαντες· χαίρετε οἱ τῶν πάλαι Στυλιτῶν μιμηταί, καὶ τῶν κατ᾽ ἐκείνους δωρεῶν, κοινωνοὶ καὶ συμμέτοχοι· χαίρετε Ἰωαννίνων βλαστοὶ περιφανεῖς, καὶ τῆς τοῦ Βαρλαὰμ Μονῆς, δομήτορες σεπτοί, καὶ κοσμήτορες ἔνθεοι. Πρεσβεύσατε πρὸς Κύριον, Πατέρες μακάριοι, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. γ´, 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν

www.tezaurliturgic.ro



αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. ε΄, 15).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπῶν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς· καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(Κεφ. δ΄, 7).

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

---

Εἰς τὴν Λιτήν, Ἰδιόμελα.

Ἦχος α΄.

Ἰωαννίνων ἡ πόλις, ὡς καλλίτεκνος μήτηρ χαίρει, ὑμᾶς Χριστῷ προαγαγοῦσα, ἐν εὐσεβείᾳ καὶ σεμνότητι, αὐτάδελφοι Ὅσιοι· ἐξ αὐτῆς γὰρ ἐβλαστήσατε, καὶ τοὺς καρποὺς τῆς ἀσκήσεως, δαψιλῶς ἐγεωργήσατε· ἡ δὲ μετέωρος πέτρα τοῦ Βαρλαάμ, ἁγιασθεῖσα τοῖς ἱδρῶσιν ὑμῶν, κλίμαξ πρὸς οὐρανὸν ἀνάγουσα, τοῖς πόνοις ὑμῶν γέγονεν. Ἀλλ' ὦ δυὰς ἐκλεκτή, Νεκτάριε καὶ Θεόφανες, μὴ παύσησθε πρεσβεύοντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Ἐκ νεαρᾶς ἡλικίας, ἀκολουθῆσαι Χριστῷ διέγνωτε, τὴν καλὴν μερίδα ἐκλεξάμενοι, Εὐαγγελικῶς μακάριοι· καὶ πᾶσι χαίρειν εἰπόντες, πρὸς ἀσκητικοὺς ἀγῶνας ἀπεδύσασθε, τῆς σαρκὸς τὴν πρόνοιαν ἀποῤῥίψαντες· καὶ λαμπρυνθέντες τῷ πνεύματι, ἐν τῇ ἑνώσει τοῦ κρείττονος, θείων ἀγαθῶν ἠξιώθητε, πᾶσιν ἐκφαίνοντες τὴν χάριν· διὸ καὶ τοὺς τοκεῖς ὑμῶν, πανοικεὶ Θεῷ ἰθύνατε, ἐν τῇ ἀπαρνήσει τῶν σφαλλομένων. Ἀλλ' ὡς θεῖοι ὁμαίμονες, συνάψατε ἡμᾶς ἐν ἀγάπῃ, Θεόφανες καὶ Νεκτάριε, ὡς ἂν ἀμέμπτως Χριστῷ λατρεύσωμεν.

Ἦχος γ΄.

Τοῖς τοῦ Πνεύματος πτεροῖς κουφιζόμενοι, τῶν κάτω συρομένων, νοῒ τελείῳ ἀπέστητε· καὶ ἐν πέτρᾳ ὑψηλῇ ἀνελθόντες, ὑψηλῶν θεωριῶν ἠξιώθητε, καὶ πέτρα ἀσάλευτος εἰς καταφυγήν, κατὰ Δαβὶδ τοῖς Μονασταῖς ὤφθητε· τῶν ἐναντίων γὰρ τὰς πνοὰς διελύσατε, καὶ τούτοις τὴν ἄνοδον, τὴν πρὸς Θεὸν ἐδείξατε, οἰκείῳ ὑποδείγματι· καὶ νῦν Ἀγγέλοις συνόντες, Θεόφα-

www.tezaurliturgic.ro



νες σοφέ, καὶ Νεκτάριε μάκαρ, ἱλεώσασθε ἡμῖν, Χριστὸν τὸν μόνον εὔσπλαγχνον.

Ἦχος δ΄.

Ἀγγελικῇ πολιτείᾳ διαπρέψαντες, τῶν ἐν αὐτῇ ἀναβάσεων, ἐκφάντορες ἔνθεοι, καὶ πρακτικοὶ μυσταγωγοί, λόγῳ καὶ ἔργῳ ὤφθητε, τῶν ἐν Μετεώροις ὁσίως ἀσκουμένων· καὶ Μονὴν περιφανῆ ἐγείραντες, ὡς πλήρεις Πνεύματος Ἁγίου, ταύτην λιμένα σωτήριον ἐδείξατε, Πατέρες Ὅσιοι· καὶ νῦν τὰς ἄνω μονὰς κληρωσάμενοι, Νεκτάριε καὶ Θεόφανες, αὐτῶν καὶ ἡμᾶς ἀξιώσατε, ταῖς πρὸς Θεὸν ὑμῶν δεήσεσι.

Δόξα... Ἦχος ὁ αὐτός.

Τοὺς θεοφόρους ὁμαίμονας, τοὺς ἐν Μετεώροις ἀγγελικῶς πολιτευσαμένους, Θεοφάνην καὶ Νεκτάριον, τῶν φιλεόρτων τὰ συστήματα, μελῳδικῶς εὐφημήσωμεν· φερωνύμως γὰρ πᾶσι, τῆς μυστικῆς Θεοφανείας τὸ νέκταρ, ὡς πεπλησμένοι τῆς χάριτος βρύουσιν· ἱδρῶσι γὰρ ἀσκήσεως, πᾶσαν φθορὰν κατακλύσαντες, μετάρσιοι ἀνίπτανται ἐκ τῆς μετεώρου πέτρας, πρὸς τὰς ἄνω σκηνώσεις· καὶ πρεσβεύουσι Χριστῷ, δοθῆναι ἱλασμὸν ἡμῖν, καὶ τὸ μέγα ἔλεος.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια.

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ἡ τῶν Ὁσίων δυάς· Ἰωαννίνων οἱ βλαστοὶ οἱ κατάκαρποι· τῆς πέτρας τῆς ἀκροτόμου, τοῦ Βαρλαὰμ οἰκισταί, καὶ Μονῆς τῆς θείας οἱ δομήτορες· τὸν νοῦν οἱ μετάρσιοι, τὴν ψυχὴν ἐνθεώτατοι· τῇ ἐγκρατείᾳ, ἀκλινεῖς καὶ ἀνένδοτοι· ταῖς δεήσεσιν, ὑψηλοὶ καὶ θεόληπτοι· νέκταρ τὸ τῆς ἀσκήσεως, Νεκτάριε ἔνδοξε, θεοφανείας ἀρρήτου, συγκληρονόμε Θεόφανες· Χριστὸν δυσωπεῖτε, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Χαίροις ἡ τῶν Ὁσίων δυάς· οἱ τὰ τοῦ κόσμου ὡς φθαρτὰ βδελυξάμενοι, καὶ γένους τὴν εὐκληρίαν, θείᾳ τρωθέντες στοργῇ, οἷα σφαλλομένην καταλείψαντες· ἐντεῦθεν τὸ πρότερον, ἐν τῇ νήσῳ ἠσκήσατε, Ἰωαννίνων, ἐν σαρκὶ ὡς ἀσώματοι, εἶτα Ἅγιοι, πολιτείαν ἰσάγγελον, ὄντως ἐπολιτεύσασθε, ἀρθέντες μετάρσιοι, ἐν Μετεώρων τοῖς λίθοις, ὡς ἐπὶ στύλου ἱστάμενοι, Νεκτάριε Πάτερ, καὶ Θεόφανες θεόφρον, ἀξιοθαύμαστοι.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ ἐν Ἐκκλησίᾳ Ὁσίων.

Χαίροις ἡ τῶν Ὁσίων δυάς· ἀσκητικῶν ἀγωνισμάτων κειμήλια· ἀγάπης θείας λειμῶνες, οἱ τὴν ὀσμὴν τὴν τερπνήν, ἀρετῶν ὁσίων διαπνέοντες, Θεόφανες Ὅσιε, ὁσιότητος στέλεχος, σκεῦος χαρίτων, Θεοφόρε Νεκτάριε, οἱ ἐν ἅπασιν, ἰσοψύχως ἐκλάμποντες· ἴσοι γὰρ ἐν τοῖς σκάμμασιν, ὡράθητε Ἅγιοι· ὅθεν καὶ ἴσων χαρίτων, παρὰ Χριστοῦ ἠξιώθητε, ἀεὶ δυσωποῦντες, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Δόξα... Ἦχος πλ. δ΄.

Τὴν ὑπὲρ φύσιν ὑμῶν ἄσκησιν, πλουσίαις δωρεαῖς ἐδόξασεν, ὁ τῆς δόξης Κύριος, Πατέρες μακάριοι· ξενοτρόπως γὰρ ἐν γῇ, μετὰ σαρκὸς πολιτευσάμενοι, ἀγγελικῶν χαρίτων, ἀληθῶς ἠξιώθητε, ὡς ἰσάγγελοι ἐν ἅπασι. Καὶ νῦν σὺν Ἀγγέλοις, τῆς ἄνω δόξης τρυφῶντες, Θεόφανες σὺν Νεκταρίῳ, πρεσβεύσατε ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Νῦν ἀπολύεις, τὸ τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Δυὰς ἡ τῶν Ὁσίων θεοφόροι αὐτάδελφοι, τῶν Ἰωαννίνων τὸ κλέος, Μετεώρων ἀγλάϊσμα, Θεόφανες θεράπον τοῦ Χριστοῦ, καὶ νέκταρ ὦ Νεκτάριε ζωῆς, πάσης βλάβης καὶ κινδύνων καὶ πειρασμῶν, λυτροῦσθε τοὺς κραυγάζοντας· δόξα τῷ ἐνισχύσαντι ὑμᾶς, δόξα τῷ στεφανώσαντι, δόξα τῷ χορηγοῦντι δι' ὑμῶν, ἡμῖν πταισμάτων ἄφεσιν.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ἀπόλυσις.

www.tezaurliturgic.ro



## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Δυὰς ἡ ἐκλεκτή, τῶν Ὁσίων Πατέρων, ὑμνείσθω παρ' ἡμῶν, μελῳδίαις ᾀσμάτων, Νεκτάριος ὁ ἔνθεος, Θεοφάνης τε σήμερον, ὡς δοξάσαντες, ἀσκητικῇ πολιτείᾳ, ἐκ νεότητος, τὸν Βασιλέα τῆς δόξης, παρ' οὗ ἐδοξάσθησαν.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τῶν Ὁσίων τῶν πάλαι τὰ κατορθώματα, ἐν ὑστέροις τοῖς χρόνοις ζηλοῦντες Ἅγιοι, ἐμιμήσασθε σαφῶς τούτων τὴν ἄσκησιν, Θεοφάνης ὁ κλεινός, καὶ Νεκτάριος ὁμοῦ, Ἀγγέλων οἱ συμπολῖται, μεθ' ὧν ἀεὶ δυσωπεῖτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ τὸ τῆς Ἑορτῆς.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Ἐν τῇ πέτρᾳ ἀρθέντες τοῦ Βαρλαάμ, ὡς ἐν στύλῳ τὸ πάλαι ὁ Συμεών, Θεῷ ἀνυψώθητε, ἀρετῶν ἀναβάσεσι, καὶ Μοναστῶν ἀλεῖπται, πρὸς βίον ὑπέρτερον, καὶ λόγοις τε καὶ ἔργοις, σαφῶς ἀνεδείχθητε· ὅθεν οὐρανίων, ἀγαθῶν μετασχόντες, Θεόφανες Ὅσιε, καὶ Νεκτάριε ἔνδοξε, θεοφόροι αὐτάδελφοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς τὴν σεπτὴν ὑμῶν μνήμην, λαμπρῶς ἑορτάζουσι.

Καὶ τὸ τῆς Ἑορτῆς.

Τὸ α΄ ἀντίφωνον τοῦ δ΄ ἤχου καὶ τὸ Προκείμενον.

Καυχήσονται ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.

Στίχ. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν, ἡ αἴνεσις αὐτοῦ...

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν΄. Δόξα... Ταῖς τῶν σῶν Ὁσίων...

Καὶ νῦν... Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἀδελφικῇ ἀγάπῃ συνδούμενοι, ἀδελφοὶ τῇ ψυχῇ ἤπερ τῷ σώματι ὤφθητε, θεοφόροι αὐτάδελφοι· ἐπὶ τῷ αὐτῷ γὰρ ὁμονοήσαντες, ὁμοῦ Χριστῷ ἐδουλεύσατε, ἀπεριτρέπτῳ καρδίᾳ, δι' ἀσκητικῶν καμάτων καὶ τῇ ἀποθέσει τῶν φθειρομένων, Ἀγγέλοις ὡμοιώθητε, Νεκτάριε καὶ Θεόφανες· ὧν τῆς στάσεως τυχόντες, πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου...

Εἶτα οἱ κανόνες, τῆς Ἑορτῆς καὶ τῶν Ἁγίων, οὗ ἡ ἀκροστιχίς·

«Τοῖς αὐταδέλφοις ὁσίοις ᾄδω. Γερασίμου».

Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ταῖς τῆς Τριάδος φωτοδότοις λάμψεσι, καταλαμπόμενοι, ταῖς ὑμῶν πρεσβείαις, φωτισμόν μοι νείματε, Νεκτάριε μακάριε, καὶ Θεόφανες θεῖε, ὅπως ὑμνήσω ἐν ᾄσμασι, τὰ τῶν ἀρετῶν ὑμῶν σκάμματα.

Ὅλον τὸν πόθον πρὸς Χριστὸν ἐτείνατε, ἀπὸ νεότητος, ὁλικῇ ἐφέσει, τοῦτον ἀγαπήσαντες, καὶ κόσμου τὰ ἐπίκηρα, καταλείψαντες ἅμα, ἀσκητικὸν βίον εἵλεσθε, Ὅσιοι Πατέρες αὐτάδελφοι.

Ἴσοι τὴν γνώμην ἴσοι τὴν προαίρεσιν, ὄντες μακάριοι, ἐν ὁμοφροσύνῃ, κατηκολουθήσατε, Εὐαγγελίου ῥήμασιν, ὡς ὁμαίμονες θεῖοι, Θεόφανες καὶ Νεκτάριε, καὶ βραβείων ἴσων ἐτύχετε.

Θεοτοκίον.

Σεσαρκωμένον ἐξ ἁγνῶν αἱμάτων σου, τὸν πρὶν ἀσώματον, Λόγον τετοκυῖα, τοῦ Πατρὸς τὸν σύνθρονον, ἁγιωτέρα πέφηνας, τῶν ἁγίων ἁπάντων, καὶ τῶν Ἀγγέλων βασίλισσα, Κεχαριτωμένη Πανύμνητε.

www.tezaurliturgic.ro



Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἀσκητικῆς διαγωγῆς, ἐπιποθοῦντες τὴν δόξαν, τὴν ἐν κόσμῳ περιφάνειαν πᾶσαν, ὑπερείδετε σπουδῇ, Πατέρες οὐρανόφρονες, καὶ τὸν Σταυρὸν Κυρίου, ζέοντι ἤρατε πνεύματι.

Ὑποταγέντες νουνεχῶς, τοῦ Σάββα τοῖς θείοις λόγοις, ὑπετάξατε ἐχθροῦ τὴν μανίαν, ἐν ἁπλότητι ψυχῆς, Κυρίῳ ὁδηγούμενοι, Νεκτάριε θεόφρον καὶ θεοφόρε Θεόφανες.

Τῶν θεοπνεύστων διδαχῶν, τοῦ Νήφωνος τοῦ Ὁσίου, ἐν τῷ Ἄθῳ τῷ φωτὶ λαμπρυνθέντες, ἐπὶ πλείονας στερρῶς, ἀγῶνας ἐχωρήσατε, αὐτάδελφοι Πατέρες, ἐν θεολήπτῳ φρονήματι.

Θεοτοκίον.

Ἀπειρογάμως ἐκ γαστρός, τὸν προαιώνιον λόγον, τοῦ Πατρὸς ἀποτεκοῦσα Παρθένε, ἐκαινούργησας ἡμᾶς, φθαρέντας ἁμαρτήμασι, καὶ τῆς ἀρχαίας δόξης, συγκοινωνοὺς πάλιν ἔδειξας.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Δυὰς ἡ αὐτάδελφος, τῶν ἀσκητῶν τοῦ Χριστοῦ, ὁ θεῖος Νεκτάριος καὶ Θεοφάνης ὁμοῦ, συμφώνως τιμάσθωσαν· ἅμα γὰρ ἠσκηκότες, Μοναστῶν ὑποφῆται, ὤφθησαν ὁδηγοῦντες, ἀσφαλῶς πρὸς τὰ κρείττω, τοὺς πίστει πειθομένους, αὐτῶν τοῖς διδάγμασι.

Καὶ τὸ τῆς Ἑορτῆς.

Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Δυὰς σεπτή, ὁμοφροσύνῃ ἐκλάμπουσα, καὶ ἀγῶσι, θείοις ἀριστεύουσα, ἐν τῇ δυνάμει τῇ τοῦ Χριστοῦ, ἐπὶ τῆς νησῖδος, Ἰωαννίνων ὡράθητε, Θεόφανες θεόφρον, καὶ Νεκτάριε θεῖε, τῶν Ἀγγέλων τὸν βίον μιμούμενοι.

Ἐν τῷ φωτί, τῶν ἀρετῶν πορευόμενοι, Παρακλήτου, σκεύη ἀνεδείχθητε, καὶ τῷ Προδρόμῳ καὶ Βαπτιστῇ, ναὸν θεοφόροι, πόνοις πολλοῖς ἐδομήσατε, ἐν ᾧ ἐν εὐφροσύνῃ, τῷ Κυρίῳ βοᾶτε· τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

Λέων καθά, πολλῇ μανίᾳ ἐφώρμησεν, ὁ Βελίαρ, καθ᾽ ὑμῶν μακάριοι, καὶ πειρασμοὺς ἤγειρε πολλούς, ἀλλ᾽ αὐτοῦ τὸ θράσος, γνώμῃ στερρᾷ ἀπεκρούσασθε, καὶ πίστει ἀδιστάκτῳ, καὶ ψυχῆς ταπεινώσει, τὰς παγίδας αὐτοῦ συνετρίψατε.

Θεοτοκίον.

Φωτὶ τῷ σῷ, ὦ φωτοτόκε Πανάχραντε, τοῦ νοός μου, πᾶσαν διασκέδασον, τὴν σκοτομήνην τὴν χαλεπήν, καὶ τῆς μετανοίας, μαρμαρυγαῖς καταλάμπρυνον, ἁπάσας τῆς ψυχῆς μου, τὰς δυνάμεις Παρθένε, ὡς ἂν θείας μετάσχω ἐλλάμψεως.

Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω;

Ὁλοτρόπῳ ἐφέσει, ἐπὶ τὰ Μετέωρα παραγενόμενοι, ὑψηλῇ καρδίᾳ, καὶ πολλῇ ταπεινώσει ᾠκήσατε, ἐπὶ τοῦ Προδρόμου, τὸν στῦλον φέροντες ἀνδρείως, τὰς τῆς φύσεως βίας ὡς ἄσαρκοι.

Ἵνα πάσης τοῦ κόσμου, ὁλοτρόπως σχέσεως ἀπομακρύνητε, ἑαυτοὺς Πατέρες, ὑψηλῆς ἐπὶ πέτρας ἀνήλθετε, Βαρλαὰμ τοῦ πάλαι, Θεόφανες σὺν Νεκταρίῳ, ὑψηλὴν πολιτείαν ζηλώσαντες.

Συμεὼν μὲν ἐν στύλῳ, ὑψωθεὶς ὁ Ὅσιος λαμπρῶς δεδόξασται, ὑμεῖς δὲ ἐν πέτρᾳ, μετεώρῳ οἰκήσαντες Ἅγιοι, Πνεύματι Ἁγίῳ, ἐμετεωρίσθητε ἐνθέως, καὶ Κυρίου τὴν δόξαν κατείδετε.

Θεοτοκίον.

Ὁ τῶν ὅλων Δεσπότης, ὁ ἀπεριόριστος φύσει Θεότητος, ἐν σοὶ κατοικήσας, ἀσυγχύτως προῆλθεν ὡς ἄνθρωπος, ὃ ἦν μείνας Κόρη, καὶ σὲ προστάτιν τῶν ἀνθρώπων, τῶν πιστῶς σε τιμώντων ἀνέδειξε.

Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Σταυρώσαντες ἑαυτούς, παντὶ τῷ κόσμῳ μακάριοι, δοχεῖα περιφανῆ, τοῦ Πνεύματος ὤφθητε, Θεόφανες Ὅσιε, σὺν τῷ Νεκταρίῳ, διὰ βίου τελειότητος.

Ἰσχύϊ τῇ θεϊκῇ, ἐπὶ τῆς πέτρας ἠγείρατε, τοῦ Βαρλαὰμ τοῖς τρισίν, Ἱεράρχαις πρότερον, ναὸν εἶτα Ἅγιοι, πᾶσι τοῖς Ἁγίοις, οἶκον θεῖον καὶ περίβλεπτον.

www.tezaurliturgic.ro



Ὁμότροποι ἐν παντί, οἷα αὐτάδελφοι πέλοντες, Νεκτάριε ἱερέ, καὶ θεῖε Θεόφανες, Μονὴν περιβόητον, ἐν τοῖς Μετεώροις, ὡς ψυχῶν ὅρμον ἱδρύσατε.

Θεοτοκίον.

Ἰλύος φθοροποιῶν, παθῶν ἡμᾶς ἀπολύτρωσαι, καὶ πρὸς λιμένα ζωῆς, τῆς θείας κυβέρνησον, Κόρη Παντευλόγητε, τοὺς χειμαζομένους, τοῖς τοῦ βίου παραπτώμασι.

Κοντάκιον. Ἦχος γ΄. Ἡ Παρθένος σήμερον.

Ἡ δυὰς ἡ ἔνθεος, τῶν θεοφόρων Πατέρων, ὁ κλεινὸς Νεκτάριος, καὶ Θεοφάνης ὁ θεῖος, λάμψαντες, ἐν Μετεώροις καθάπερ ἄστρα, νέμουσι, φῶς σωτηρίας τοῖς ἐκβοῶσι· χαίρετε φωτὸς δοχεῖα, οἱ τῆς Τριάδος θεῖοι θεράποντες.

Ὁ Οἶκος.

Εὐκλεοῦς ἀπὸ ῥίζης βλαστήσαντες, ὥσπερ δένδρα κατάκαρπα Ἅγιοι, καρποφορίαν τὴν ἀληθῆ, ἐγεωργήσατε δαψιλῶς, τῷ φυτουργῷ τῶν ὅλων καὶ Κτίστῃ Θεῷ· τούτου γὰρ ἀράμενοι τὸν ζυγόν, ἔξω κόσμου ἐβιώσατε καὶ σαρκός, καὶ τῶν ὑπὲρ φύσιν δωρεῶν, μέτοχοι ὤφθητε καὶ κοινωνοί· ἀγγελικῶς γὰρ πρώην ἐν τῇ τῶν Ἰωαννίνων νησίδι, καὶ εἶτα ἐν τῇ ἐν Μετεώροις πέτρᾳ τοῦ Βαρλαὰμ διαλάμψαντες, Μοναστῶν ὑφηγηταί, καὶ κανόνες ἀρετῆς ὠράθητε, καὶ περιφανῆ ἐν αὐτῇ Μονὴν συνεστήσατε, ὡς κλίμακα πρὸς οὐρανόν, καὶ λιμένα ψυχῶν ἀσφαλῆ, ἐν Πνεύματι Ἁγίῳ μακάριοι, Νεκτάριε ἱερέ, καὶ Θεόφανες θαυμαστέ· καὶ μεταστάντες ἐν οὐρανοῖς, χάριν νέμετε τοῖς βοῶσι· χαίρετε φωτὸς δοχεῖα, οἱ τῆς Τριάδος θεῖοι θεράποντες.

Συναξάριον.

Τῇ ιζ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τῶν Ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν Νεκταρίου καὶ Θεοφάνους τῶν αὐταδέλφων καὶ κτιτόρων τῆς Μονῆς Βαρλαὰμ τῶν Μετεώρων.

Στίχοι.

Ὡς ἄστρα ἐξέλαμψαν ἐν Μετεώροις
Ὁμοῦ ὁ Νεκτάριος σὺν Θεοφάνει.
Δεκάθ' ἑβδομάτῃ κασιγνήτους ἠγαθέους χρὴ μέλπειν.

Οὗτοι οἱ μακάριοι καὶ θεοφόροι αὐτάδελφοι, ἤκμαζον περὶ τὰ τέλη τοῦ δευτέρου ἡμίσεος τοῦ δεκάτου καὶ πέμπτου αἰῶνος, καὶ τὸ πρῶτον ἥμισυ τοῦ δεκάτου ἕκτου, ὁρμώμενοι ἐκ τῆς περικλεοῦς τῶν Ἰωαννίνων πόλεως, ἐκ γονέων τεχθέντες εὐσεβῶν καὶ πλουσίων, Ἀψαράδων ἐπωνυμουμένων. Ἐκ νεαρᾶς ἡλικίας σφόδρα ἠγάπησαν τὸν Χριστόν· καὶ λιπόντες πάντα, ἠμφιάσαντο τὸ τῶν μοναχῶν σχῆμα, ὑποταγέντες ὁσίῳ τινὶ Γέροντι, ᾧ ἡ κλῆσις Σάββας, οὗτινος μεταστάντος τῶν τῇδε παρεγένοντο ἐν Ἄθῳ, καὶ συνέτυχον τῷ ἁγίῳ Νήφωνι, Ἀρχιεπισκόπῳ Κωνσταντινουπόλεως, ἐκεῖσε ἐν ἡσυχίᾳ διάγοντι· παρ' οὗ ἀγαθὰς ὁδηγίας λαβόντες, ἀνεχώρησαν, καὶ ἐλθόντες ἐν τῇ νησίδι τῆς λίμνης τῶν Ἰωαννίνων, κόποις πολλοῖς, ἵδρυσαν τὸν ἐκεῖσε ναὸν τοῦ Τιμίου Προδρόμου, συντονωτάτῃ ἀσκήσει ἀγγελικῶς πολιτευόμενοι. Τότε πανοικεί, σὺν τοῖς τοκεῦσιν αἱ τρεῖς ἀδελφαὶ αὐτῶν ἐγένοντο μοναχαί, θείῳ πόθῳ τρωθεῖσαι, χερσὶν αὐτῶν, ἐγγύς που τὰς οἰκήσεις ποιούμεναι.

Ἀλλ' ὁ γεννήτωρ τοῦ φθόνου, λυσσῶν τῇ τούτων ἀρετῇ, πλείστους πειρασμοὺς αὐτοῖς ἐπήγειρεν· οὓς ἐκκλίνοντες, ἀνεχώρησαν ἐκεῖθεν, καὶ δρόμῳ συντόνῳ ἦλθον ἐν Μετεώροις τῆς Θεσσαλίας, ἔνθα πρῶτον ᾤκησαν ἔν τινι στύλῳ τοῦ Προδρόμου λεγομένῳ, καὶ εἶτα ἀνῆλθον ἐπὶ τῆς ὑψηλῆς πέτρας τῆς φερούσης τὴν κλῆσιν τοῦ πάλαι ἀσκητοῦ Βαρλαάμ, ἐν ᾗ ἐρείπια ἀρχαίας μονῆς. Ἐν ταύτῃ ἱδρῶσι πολλοῖς, καὶ κόποις ἀμέτροις ἵδρυσαν τὸ πρῶτον τὸ τῶν τριῶν Ἱεραρχῶν ναΐδιον, καὶ εἶτα τὸν μέγαν τῶν Ἁγίων Πάντων ναόν, μετὰ κελλίων καὶ λοιπῶν χρειωδῶν, τελείαν καταρτίσαντες Μονήν, εἰς τριάκοντα καὶ πλείους αὐξηθέντων τῶν ἀδελφῶν, ὧν τύποι καὶ ἀρχηγοὶ καὶ μυσταγωγοὶ πρὸς ἀρετῆς ἐπίδοσιν ὤφθησαν. Καὶ ὁσίως καὶ ἀγγελικῶς βιωσάμενοι, καὶ πλήρεις Πνεύματος Ἁγίου γενόμενοι, ἐκοιμήθησαν ἐν Κυρίῳ, ληψόμενοι τὰ τῶν πόνων ἔπαθλα, ὁ μὲν θεῖος Θεοφάνης τῇ ιζ΄ (17) Μαΐου, τῇ Κυριακῇ τοῦ Τυφλοῦ, τοῦ σωτηρίου ἔτους ‚αφμδ΄ (1544), ὁ δὲ μακάριος Νεκτάριος τῇ β΄ (2) Ἀπριλίου, τῇ τῆς Διακαινησίμου ἑβδομάδος Δευτέρᾳ, ἐν ἔτει ‚αφν΄ (1550). Ἐν τῇ ἱερᾷ αὐτῶν Μονῇ σώζονται τοῦ μὲν ἱεροῦ Νεκταρίου ἡ δεξιὰ χείρ, τοῦ δὲ θείου Θεοφάνους ἡ ἀριστερά.

Ταῖς αὐτῶν πρεσβείαις Χριστὲ ὁ Θεός, καὶ πάντων σου τῶν Ἁγίων, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.

Συντόνοις ἀσκήσεσι, καὶ ὑποθήκαις θείαις μακάριοι, Μοναστῶν ὑποφῆται, ἐν Μετεώροις πρὸς βίον κρείττονα, ὡς ἀληθῶς ἀνεδείχθητε ψάλλοντες· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ἀπάσης ἐκκλίνοντες, νοΐ τελείῳ γηΐνης σχέσεως, ὑψηλῆς ἐπὶ πέτρας, ὥσπερ ἀσώματοι ἐβιώσατε, σὺν Νεκταρίῳ θεόφρον Θεόφανες, θεωριῶν ὑψηλῶν, καταξιούμενοι.

Δοχεῖα ὑπέρτιμα, καὶ ναοὶ ἔμψυχοι τοῦ Παντάνακτος, γεγονότες Πατέρες, Ἁγίοις πα-

www.tezaurliturgic.ro



σι ναὸν περίβλεπτον, ἐν Μετεώροις ἱδρύσατε Πνεύματι, ἔνθα πληθὺς Μοναστῶν, ὑμᾶς γεραίρει ἀεί.

Θεοτοκίον.

Ὡς θρόνος χρυσότευκτος, καὶ φωτοφόρος καθέδρα Ἄχραντε, ἐν ἀγκάλαις σου φέρεις, τὸν συνοχέα πάσης τῆς κτίσεως, ἐκ συνοχῆς πονηρᾶς ἐκλυτρούμενον, τοὺς προσκυνοῦντας πιστῶς τὰ μεγαλεῖά σου.

Ὠδὴ η΄. Ἑπταπλασίως κάμινον.

Γνώμων ζωῆς τῆς κρείττονος, καὶ ὑπόδειγμα ἄριστον, ἐν τοῖς Μετεώροις Μοναζόντων ὤφθητε, Θεόφανες Ὅσιε, καὶ ἱερὲ Νεκτάριε· λόγοις γὰρ ὑμῶν, μυσταγωγούμενοι θείοις, βοῶσιν ὁμοφρόνως· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἐξ οὐρανοῦ ἐπέλαμψε, τῷ σεπτῷ σου οἰκήματι, μέλλοντός σου Πάτερ ἐκδημεῖν πρὸς Κύριον, ἀστὴρ φαεινότατος, δεικνύων σου τὴν ἔλλαμψιν· καὶ χαριτωθέν, ὅλον λευκὸν καθωρᾶτο, τὸ πρόσωπόν σου μάκαρ, εὐωδίαν ἐκπέμπον, καὶ πάντας καταπλῆττον, Θεόφανες θεόφρον.

Ῥήσεσι τῶν χειλέων σου, φοιτητῶν σου τὸν σύλλογον, ἐπεύφρανας Πάτερ καὶ Θεῷ ἐστήριξας, καὶ χαίρων ἀνέδραμες, Νεκτάριε μακάριε, πρὸς τὰς φωταυγεῖς, τῶν οὐρανῶν κατοικίας, καὶ νέκταρ ἀφθαρσίας, καὶ τρυφῆς τὸν χειμάρρουν, κεκλήρωσαι ἀξίως, οἷα Θεοῦ θεράπων.

Θεοτοκίον.

Ἀνερμηνεύτως τέτοκας, καὶ παρθένος διέμεινας, μετὰ τὴν λοχείαν τὴν φρικτὴν καὶ ἄμωμον· ὁ πάντων γὰρ Κύριος, δι᾽ εὐσπλαγχνίαν ἄφατον, ἐκ σοῦ Θεοτόκε, σαρκωθῆναι θελήσας, εἰργάσατο μεγάλα, καὶ ξένα ἐν σοὶ Κόρη, καὶ ἔσωσε τὸν κόσμον, τῆς πάλαι καταδίκης.

Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Στεφάνοις ἰσοτίμοις ἐν οὐρανοῖς, ὡς αὐτάδελφοι θεῖοι καὶ ὅσιοι, παρὰ Θεοῦ, κατακοσμηθέντες θεουργικῶς, Θεόφανες θεόληπτε, σὺν τῷ Νεκταρίῳ τῷ ἱερῷ, τῆς δόξης τοῦ Κυρίου, ἀνακεκαλυμμένως, ὁρᾶτε κάλλος τὸ ἀμήχανον.

Ἰλύος λυτρωθέντες τῆς τῶν παθῶν, ἀπαθείας λειμῶνες μυρίπνοοι, ὡς ἀληθῶς, ὤφθητε ἐν βίῳ ἀγγελικῷ, καὶ τῇ ὀσμῇ τῆς χάριτος, τὰς ψυχὰς εὐφραίνετε τῶν πιστῶν, Θεόφανες θεόφρον, Νεκτάριέ τε Πάτερ, Ἰωαννίνων ἄνθη εὔοσμα.

Μετάρσιοι τῆς σχέσεως τῶν φθαρτῶν, καὶ μετέωροι κόσμου ὠράθητε, ταῖς ἀρεταῖς, Ὅσιε Θεόφανες ἱερέ, καὶ θαυμαστὲ Νεκτάριε· ὅθεν Μετεώρων λύχνοι λαμπροί, καὶ θεῖοι ὑποφῆται, πρὸς θείας ἀναβάσεις, ὄντως γεγόνατε μακάριοι.

Ὁμαίμονες θεόφρονες καὶ σεπτοί, Μοναζόντων σεπτὰ καλλωπίσματα, πάντας ἡμᾶς, ἐν ὁμοφροσύνῃ θεοπρεπεῖ, τηρήσατε δεόμεθα, καὶ ὡς δῶρον δέξασθε εὐτελές, Νεκτάριε θεόφρον, ὁμοῦ σὺν Θεοφάνει, ὃν ὑμῖν ἤδη ὕμνον ἔπλεξα.

Θεοτοκίον.

Ὑπέρφωτε λυχνία χρυσοειδής, τῶν ἀπείρων χαρίτων τοῦ Πνεύματος, οἶκε καινέ, πλήρης ἐπιλάμψεων θαυμαστῶν, ἐν ᾧ ὁ Λόγος ᾤκησεν, ἐκ σοῦ τὸ ἡμέτερον προσλαβών, Παρθένε Θεοτόκε, τῆς οὐρανίου δόξης, δεῖξον μετόχους τοὺς ὑμνοῦντάς σε.

Ἐξαποστειλάριον. Σαρκὶ ὑπνώσας.

Σαρκὸς νεκρώσαντες ὁρμάς, ἀγγελικῷ βιώματι, ὑπόδειγμα Μοναζόντων, ἐν Μετεώροις ὤφθητε· διὸ ὑμᾶς γεραίρομεν, Νεκτάριε θεοφόρε, καὶ θεῖε Θεόφανες.

Καὶ τὸ τῆς Ἑορτῆς.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ΄. Τί ὑμᾶς καλέσωμεν.

Τί ὑμᾶς καλέσωμεν Ὅσιοι; τῆς ἀγάπης θησαυρούς, καὶ Μοναστῶν φωταγωγούς, ἐγκρατείας ἀληθοῦς, θεοειδεῖς μυσταγωγούς· δυάδα, θείαις πράξεσιν ἐκλάμπουσαν Τριάδος, ὑπηρέτας καὶ θεράποντας, Νεκτάριε καὶ Θεόφα-

www.tezaurliturgic.ro



νες, τῶν ἀρετῶν ἄστρα πάμφωτα· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί ὑμᾶς προσείπωμεν Ὅσιοι; τοῦ φωτὸς τοῦ νοητοῦ, κατοικητήρια λαμπρά· ἐναρέτου ἀγωγῆς, ἐλαίας τὰς πνευματικάς· τῆς πέτρας, Βαρλαὰμ θεῖα στηρίγματα· φωστῆρας, Μετεώρων θείῳ Πνεύματι· Θεόφανες καὶ Νεκτάριε, Ἰωαννίνων βλαστήματα· πρεσβεύσατε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε ὀνομάσω Θεόφανες; μυστικῆς θεοφανείας, λύχνον φαίνοντα ἡμῖν· πολιτείας ἰσαγγέλου, ἔμπρακτον ὑφηγητήν· Ἀγγέλων, ἐν ἀσκήσει ἰσοστάσιον· δοχεῖον, δωρεῶν τοῦ θείου Πνεύματος· ὑπερφυῶς γὰρ ἠγώνισαι, καὶ ἐπαξίως δεδόξασαι· ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τί σε νῦν προσείπω Νεκτάριε; νέκταρος τοῦ νοητοῦ, κρατῆρα θεῖον καὶ σεπτόν, τὸν κιρνῶντα μυστικῶς, πόμα ζωῆς τῆς ἐν Χριστῷ· ἀγώνων, ἐναρέτων ὑποτύπωσιν· ταμεῖον, ἐπιπνοίας θείας χάριτος· ἀγγελικῶς γὰρ ἐβίωσας, καὶ δόξης ἔτυχες κρείττονος· ἱκέτευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα... Ἦχος πλ. δ΄.

Τῶν Ὁσίων Πατέρων ἡ δυάς, ἐν πάσῃ ἀσκήσει βιώσασα ἐπὶ γῆς, τῆς τοῦ Πνεύματος ἐπλήσθη ἐνεργείας, καθυποτάξασα τῷ κρείττονι τὸ χεῖρον· καὶ ὡς ἀστέρες ζωῆς τῆς μακαρίας, ἐκ τῆς πέτρας τοῦ Βαρλαάμ, ἔλαμψαν τῷ κόσμῳ· οὓς ἀνυμνοῦντες συμφώνως, μακαρίσωμεν λέγοντες· Ὢ ἔνδοξοι ἀδελφοί, θεοφόροι Πατέρες, Μετεώρων ἡ λαμπρότης· δοχεῖα πολύτιμα, τῶν δωρημάτων τῆς χάριτος· τῆς ἐν Χριστῷ ζωῆς, οἱ ὁδηγοὶ καὶ ἀλεῖπται· τὰ χρυσότευκτα σκεύη τῆς ἀπαθείας· τὰ εὔοσμα ἄνθη Ἰωαννίνων· Νεκτάριε Ὅσιε, καὶ ἱερὲ Θεόφανες, ἐκτενῶς πρεσβεύσατε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν... Τῆς Ἑορτῆς.

Δοξολογία μεγάλη καὶ ἀπόλυσις.

---

## ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

Τὰ συνήθη. Ἀπόστολον καὶ Εὐαγγέλιον ζήτει τοῦ Ἁγίου Ἀντωνίου, ιζ΄ Ἰανουαρίου.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔσονται δίκαιοι, Ἀλληλούϊα.

Μεγαλυνάριον.

Χαίροις αὐταδέλφων ἡ ξυνωρίς, Νεκτάριε μάκαρ, καὶ Θεόφανες ἱερέ, Ἰωαννίνων δόξα, καὶ Μετεώρων λύχνοι, καὶ Βαρλαὰμ τῆς Μάνδρας, θεῖοι δομήτορες.

Δίστιχον.

Θεόφανες φάνηθε σὺν Νεκταρίῳ
Γερασίμῳ φύλακες, ὑμᾶς ὑμνοῦντι.